

# 07 IANUARIE
# PARACLISUL
# SF.PROROC
# IOAN BOTEZATORUL
# VENETIA,1805

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ.

## Πρὸς τὸν τίμιον Πρόδρομον,

Ψαλλόμενος ἐπὶ ἀσθενοῦντας, ἢ καὶ ἄλλως εἰς περιπετείας, καὶ συμφορὰς τελοῦντας. Ποιηθεὶς παρὰ Διονυσίου Ἱερομονάχου τοῦ Παππαδοπούλου. μετὰ τὸ Κύριε εἰσάκουσον, τὸ, Θεὸς Κύριος.

Εἶτα Τροπάριον. ἦχος δ'.
Τῇ Θεοτόκῳ ἐκτενῶς.

Τῆς μετανοίας γενόμενος θεῖος κήρυξ, μετανοοῦντα ἐκ ψυχῆς Ἰωάννη, ἐνίσχυσόν με Πρόδρομε πανένδοξε, ὅπως ἀποθέμενος ἁμαρτίας τὸ βάρος, χαίρων ἐποφθήσωμαι τῷ κριτῇ τῶν ἁπάντων. καὶ διὰ σοῦ γεέννης, καὶ πυρὸς, καὶ αἰωνίου ῥυσθῶ κατακρίσεως. Δόξα, καὶ νῦν.

Οὐ σιωπήσομεν ἀεὶ Θεοτόκε. Εἶτα ὁ ν'. καὶ ὁ Κανών. Οὗ ἡ ἀκροστιχὶς, Βαπτιστὰ Χριστοῦ, παῦσον ἡμῶν τοὺς πόνους.

Ἦχος πλ. δ'.
Ἁρματηλάτην Φαραώ.

Βεβαπτισμένον ἐν πελάγει Πρόδρομε, βιωτικῶν συμφορῶν, ἀνομιῶν φόρτῳ, χαλεπῷ, τὸν δοῦλόν σου, τῶν οἰκτιρμῶν τὴν ἄβυσσον ὁ Βαπτίσας Προφῆτα, ἱκεσιῶν σου τοῖς οἴαξι, πρὸς γαλήνης ὅρμον κυβέρνησον.

www.tezaurliturgic.ro



Ἀνομιῶν οἱ καταιγίδες πνέουσαι, βίου Πνευμάτων σφοδρᾷ, τὸ πενιχρὸν σκάφος, ἐμβολῇ κατέκλυσαν, ἐπαγωγαῖς τῶν θλίψεων, Βαπτιστὰ δυσωπῶ σε, ἐσμὸν κακῶν με ποντίζοντα, λύσας ἐκ βυθοῦ με ἀνάγαγε.

Πιεζομένῳ μοι κακῶν τῷ τάλανι, ἐπιφοραῖς χαλεπῶν, ὡς παρωργηκότι, τοῦ Θεοῦ τὸ εὔσπλαγχνον, ἐπενεχθεῖσαι μάστιγες νοσεραί με ὠθοῦσιν, εἰς χοῦν τὸν δείλαιον πρόφθασον, πρόδρομε Κυρίου, καὶ σῶσόν με.

Θεοτοκίον.

Τῆς εὐσπλαγχνίας τὴν μεγάλην ἄβυσσον, τῶν οἰκτιρμῶν τὴν πηγήν, σωματικῶς Κόρη, ὡς τεκοῦσα δέομαι, Θεοκυῆτορ βλῦσόν μοι, θεραπείας τὸ ῥεῖθρον, σβεννύον καύσωμα θλίψεων, καὶ σαρκὸς ὀδύνας ἰώμενον.

www.tezaurliturgic.ro

Ὁ Εἱρμός. Οὐρανίας ἁψῖδος.

Ἱκετεύω ὁ τάλας, τῆς παλαιᾶς ὄντα σε, καὶ καινῆς μεσίτην, καινίσαι παλαιωθέντα με, ἐν ἀνομίαις πολλαῖς, καὶ ἐκλυτρώσασθαι πλήθει, Βαπτιστὰ τῶν θλίψεων, πολιορκούμενον.

Σὲ τοῦ Λόγου τὸν μύστην, τὸν προφητῶν μείζονα, ὄντως τὸν Ἠλίαν, αἰτοῦμαι πρόδρομον λύχνον τε, τοῦ ἀπροσίτου φωτός, τὸ στυγερόν, καὶ ζοφῶδες, τοῦ ἀθλίου βίου μου λύσας καταύγασον.

Τῆς χαρᾶς ὁ προκήρυξ, καὶ χαρμονῆς Ἄγγελος, ὁ τοῖς ἀθυμοῦσι κηρύξας τὴν ἀνεκλάλητον, χαρὰν προφῆτα Χριστοῦ, εἰς χαρμονὴν τὸ στυγνάζον, τῆς χαρᾶς ἐπώνυμε, τρέψον τοῦ δούλου σου.

Θεοτοκίον.

Ἀθυμίαι, καὶ ζάλαι βιωτικαὶ Δέσποινα, τὸν τῆς παναθλίας ψυχῆς μου οἶκον ἐσάλευσαν, καὶ

F 3 κα-



καταποντῶσαι αὐτόν, ἐπαπειλοῦσί μοι τέλος, τῆς ζωῆς ἡ πρόξενος σπεῦσον βοήθει μοι.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου πρόδρομε τοῦ Κυρίου, ὅτι πάντες μετὰ Θεόν, πρὸς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος, καὶ προστασίαν.

Ἐπίβλεψον ἐν. Καὶ μνημονεύει ὁ Ἱερεύς. Εἶτα τὸ Κοντάκιον. Εὐσπλαγχνίας ὑπάρχουσα.

Εὐσπλαγχνίας τὴν ἄφθονον πηγήν, Ἰορδάνου κατέδυσας ῥοαῖς, Ἰωάννη. ὅθεν ἱκετεύω σε, θλίψεων πελάγει χειμαζόμενον, καὶ δεινῶς τούτων τῷ κλύδωνι ποντούμενον, γαληνῶς με πρὸς ὅρμον χειραγώγησον.

www.tezaurliturgic.ro

Ὁ Εἱρμός. Σύ μου ἰσχὺς Κύριε.

Χάριτος ὢν πρόδρομε, κήρυξ σεμνότατος, δώρησαί μοι μάκαρ δεομένῳ σου, χαροποιὰν χάριν δαψιλῶς, ὅπως διαῤῥήξας, τὸν σάκκον τῆς ἀθυμίας μου, χαρᾶς, καὶ εὐφροσύνης ἐνδυθεὶς τὸν χιτῶνα, τῶν θαυμάτων τὴν χάριν γεραίρω σου.

Ῥοῦς με δεινὸς θλίψεων, ῥοῦς παραπτώσεων, καὶ κινδύνων ζάλαι περιέχουσι, λαίλαψ σφοδρὸς, τὸ ἐλεεινὸν, Βαπτιστὰ Κυρίου, ποντίσαι βίου μου λείψανον, ἐγείρεται δεσπότην, ἀλλ' ὁ λύσας ζωῆς τε, καὶ θανάτου με τούτων ἀπάλλαξον.

Ἴδε κακῶν Πρόδρομε, σμῆνος συνέχει με, καὶ λυποῦσι συμφοραὶ τὸν δοῦλόν σου, καὶ δυσμενῶν, ὥσπερ ἀτελὲς, βρόχοις κινδυνώδων, στρουθίον οἴμοι εἱλίασεσθαι. Τῇ σκέπῃ σου οὖν προστρέχω, καὶ στενάζων αἰτοῦμαι, ἀντιλήψεως χεῖρά μοι ὄρεξον. Θεοτοκίον.

Σῶσόν με νῦν πάναγνε, σῶσόν με Δέσποινα, σωτηρίας κόρη με ἀξίωσον, καὶ γὰρ πυκνὰ νέφη δυσχερῶν, κατεκάλυψάν με, χειμῶνά μοι ἐπιφέροντα,

www.tezaurliturgic.ro



τα, ἀθρόον ἀλγηδόνων, δυσωπῶ σε παρθένε, ἡ παγκόσμιον ζάλην κοπάσασα.

### Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Μέλος φρίττω ὁ τάλας, τὸ ζωῆς μου Πρόδρομε παρὸν, καὶ δέδοικα, τοῦ κριτοῦ τὸ βῆμα, τὸ ἀδέκαστον, πάσης ὑπέραντλος, γεγονὼς κακίας. ἀλλ' ἱκετάνωσε τῆς τῆδε, καὶ μελλούσης βασάνου με λύτρωσαι.

Οἴμοι ἄζεσαν σφόδρα, τῆς σαρκὸς οἱ μώλωπες, καὶ κατεσάπησαν, καὶ κατέκαμψάν με, ψαλμικῶς ἀφροσύνης αἱ μάστιγες, ἐταλαιπωρήθην, ὦ Βαπτιστὰ, καὶ μέχρι τέλους, ἀλλ' ἀντίληψιν δός μοι σωτήριον.

Ὕδωρ ἕως ψυχῆς μου, κατοδυνῶν θλίψεων προφῆτα ἔφθασεν, καὶ βυθοῦ ἰλύϊ, ψαλμικῶς ἐνεπάγην ὁ δείλαιος, τῶν πειρατηρίων, καί μοι ὑπόστασις οὐκ ἔστιν, ἡ δ' ἐλπίς μου, ἀεὶ ἐκ σοῦ ἤρτηται.

www.tezaurliturgic.ro



ματίοις ἠμφιεσμένον; ἰδοὺ οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασιλείων εἰσίν. ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; Προφήτην; ναὶ λέγω ὑμῖν, καὶ περισσότερον προφήτου. οὗτος γάρ ἐστι περὶ οὗ γέγραπται, ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν Ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν, μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ. ὁ δὲ μικρότερος, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστιν. ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ Βαπτιστοῦ ἕως ἄρτι, ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. πάντες γὰρ οἱ προφῆται καὶ ὁ Νόμος ἕως Ἰωάννου προεφήτευσαν, καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι. ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

Δόξα. Ταῖς τοῦ σοῦ προδρόμου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Ἐλεῆμον ἐλέησόν με ὁ Θεός.

Θεοτοκίον.

Πόνοι θλίψεις ὀδύναι, καὶ ἐχθρῶν ἐπήρειαι καταπιέζουσι, καταστρύχοντά με, καὶ εἰς ᾅδου σχεδόν με καθέλκοντα, ἀλλ' ἀπεγνωσμένον, ἀπηλπισμένων ἡ τεκοῦσα, τὴν ἀνάρρυσιν σῶσόν με δέσποινα.

Ὠδὴ, ϛʹ. Τὴν δέησιν ἐκχεῶ.

Ἀβίωτον, τοῦ λοιποῦ τῷ τάλανι, τὴν ζωήν, καὶ πονηρὰς τὰς ἡμέρας, αἱ τῶν δαιμόνων προσβολαί μοι ποιοῦσι, καὶ τῇ ἀθλίᾳ σαρκί μου ἀφόρητα, τὰ ἄλγη. ἀλλ' ὦ Βαπτιστὰ, ἐπὶ σοὶ πεποιθὼς οὐκ ἀπέγνωσμαι.

Ὑπόπλεων, στεναγμῶν ὁ ἄθλιος, τὸ σαρκίον, καὶ ὀδύνης τὸν βίον, ἔχων μεστὸν, Βαπτιστὰ, καὶ ψυχὴν δὲ, καταγομένην εἰς ᾅδου ἀπώλειαν, προσέρχομαί σοι δυσωπῶν, συνοχῆς πονηρῶν με ἀπάλλαξον.

Συ-

www.tezaurliturgic.ro



Συνέῤῥευσε, τοῦ ἐχθροῦ ἡ δύναμις, ἐπ' ἐμὲ καταπιέζουσα πᾶσα, καὶ πολεμεῖ χαλεπῶς τὴν ζωήν μου, φρυαττομένη ὀλέσαι τὸν τάλανα, ὦ κῆρυξ τῆς αὐτοζωῆς, τούτου θραῦσον τὰ βέλη, καὶ ἔνεδρα.

Θεοτοκίον.

Ὁλόσωμον, καὶ ψυχῇ, καὶ σώματι, τὴν πληγὴν ὁ δυσμενής μοι ἐπάγει, ἐκτὸς δεινῶν ἐπιθέσεσι πλήττων, ἐντὸς δὲ λύπαις παντοίαις, αἰκίζων με, τὸ τούτου θράσος, ἀλλ' ἁγνὴ, ὥσπερ πάλαι, καὶ ἄρτι κατάβαλε.

Διάσωσον ἀπὸ κινδύνων.

Ἄχραντε ἡ διὰ λόγου.

Εἶτα ὁ Ἱερεὺς, μνημονεύει.

Εἶτα τὸ Κοντάκιον.

Προφῆτα Θεοῦ, καὶ Πρόδρομε τῆς χάριτος.

Προκείμ. Καὶ σὺ παιδίον προφήτης ὑψίστου κληθήσῃ.

Στ. Εὐλογητὸς ὁ Θεὸς τοῦ Ἰσραήλ. Καὶ ὑπὲρ τοῦ κατα-

ΓΕΝΝΑΔΕΙΟΣ

www.tezaurliturgic.ro

ξιωθῶμεν. Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, ἀκούσας ὁ Ἰωάννης ἐν τῷ δεσ-
μωτηρίῳ, τὰ ἔργα τοῦ Ἰησοῦ, πέμψας δύω τῶν
μαθητῶν αὐτοῦ, εἶπεν αὐτῷ, σὺ εἶ ὁ ἐρχόμενος, ἢ
ἕτερον προσδοκῶμεν; καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν
αὐτοῖς· πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ ἀκούε-
τε, καὶ βλέπετε. τυφλοὶ ἀναβλέπουσι, καὶ χωλοὶ
περιπατοῦσι, λεπροὶ καθαρίζονται, καὶ κωφοὶ ἀκούου-
σι, νεκροὶ ἐγείρονται, καὶ πτωχοὶ εὐαγγελίζονται,
καὶ μακάριός ἐστιν, ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί.
Τούτων δὲ πορευομένων, ἤρξατο ὁ Ἰησοῦς λέγειν τοῖς
ὄχλοις περὶ Ἰωάννου. τί ἐξήλθετε εἰς τὴν ἔρημον
θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; ἀλ-
λὰ τί ἐξήλθετε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱ-

μα-

www.tezaurliturgic.ro



ματίοις ἠμφιεσμένον; ἰδοὺ οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις τῶν βασιλείων εἰσίν. ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; Προφήτην; ναὶ λέγω ὑμῖν, καὶ περισσότερον προφήτου. οὗτος γάρ ἐστι περὶ οὗ γέγραπται, ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν Ἄγγελόν μου προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν, μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ. ὁ δὲ μικρότερος, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστιν. ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ Βαπτιστοῦ ἕως ἄρτι, ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. πάντες γὰρ οἱ προφῆται καὶ ὁ Νόμος ἕως Ἰωάννου προεφήτευσαν, καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι. ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

Δόξα. Ταῖς τοῦ σοῦ προδρόμου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Ἐλεῆμον ἐλέησόν με ὁ Θεός.

Προσόμοιον. Μὴ καταπιστεύσῃς με.

Δέησιν προσφέρω σοι, ὀδυνηρᾶς ἐκ καρδίας, πεποιθὼς ὁ δοῦλός σου, τῇ ταχείᾳ Πρόδρομε ἀντιλήψει σου. τῆς συνεχούσης με, σπεῦσον κακώσεως, ἐξελοῦ με καὶ τῶν θλίψεων, σῶσον ὀδύνης τε, καταπιεζούσης με ἅγιε, πάντων πειρατηρίων τε τῶν τοῦ πολεμίου με λύτρωσαι. οἶδά σε γὰρ οἶδα, δυνάμενον τὰ πάντα Βαπτιστά, ὡς Ἰορδάνου ἐβάπτισας, πάντα τὸν ἰσχύοντα. Μεταβολὴ τῶν θλιβομένων. Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Ἐλέει, καὶ οἰκτιρμοῖς.

Ὠδὴ, ζ. Παῖδες Ἑβραίων.

Νᾶμά μοι βλῦσον χειροκήρυξ, τῇ σῇ χάριτι δροσίζον τὰς φλογώσεις, τῶν δεινῶν μου παθῶν,

καὶ

www.tezaurliturgic.ro



ϗ ὅπλα τὰ πυρφόρα, τὰ κατ' ἐμοῦ κατάσβεσον, τοῦ ἐχθροῦ, ἵνα ὑμνῶ σε.

Ἤρεμον βίον μοι προφῆτα, καὶ ἀτάραχον παράσχου ταῖς πρεσβείαις, τῶν μισούντων με δὲ ἀλώβητον συντήρει, ϗ τὰς αἰτήσεις πλήρωσον, σὲ θερμῶς καθικετεύω.

Μέρος, ϗ κλῆρος σὸς ὑπάρχω, μὴ παρίδῃς με ἐχθροῖς καταποθῆναι, Βαπτιστὰ τοῦ Χριστοῦ, ἀλλ' οἴκτειρον ϗ βλάβης, ϗ πειρασμῶν με φρούρησον, ἀβλαβῆ τὸν σὸν οἰκέτην.

Θεοτοκίον.

Ὢ πῶς παράκλησιν οὐκ ἔχω; περιστάσεσι τοῦ βίου, ϗ ἀνάγκαις, ϗ κακώσεσι δὲ ἀπώλωλα ὁ τάλας, ἀπαρακλήτων σῶσόν με, παραμύθιον παρθένε.

Ὠδὴ, η. Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα.

Νηπιόθεν χαρὰν τῇ οἰκουμένῃ, προμηνύεις πατρὸς, τὴν γλωττοπέδην λύσας· τῶν ὀδυνῶν τὰς πέδας διὸ ῥήξας μου, θλῖψιν εἰς χαράν μοι, Πρόδρομε μετάθες, Χριστοῦ, καὶ ἀφροσύνην.

Ὧν τεκόντων ὡς ὄνειδος ἠμείψω, σῇ γεννήσει φαιδρὰν, εἰς ἀφροσύνην οὕτω, τὸ κατηφὲς ἐν πόνοις τῆς καρδίας μου, ἄμειψον προφῆτα, τῇ σῇ ἐπισκέψει, εἰς εὔκρατόν μοι ἕξιν.

Ὀνομάζῃ προφῆτα τῷ δεσπότῃ, ὡς μεγίστων λαχὼν, διακονίαν μείζων, τῶν προφητῶν ἁπάντων, ὅθεν δέομαι, μείζονα ὡς ἔχων, χάριν, καὶ πλουσίως, τυχεῖν τῆς ἀπολύσεως.

Θεοτοκίον.

Ὑπὲρ πάντας, ἥμαρτηκα ἀφρόνως, ἀθετήσας ἁγνὴ τοὺς θείους νόμους· ὅθεν, καὶ χαλεποῖς ἐντεῦθεν ἐταζόμενος, μάστιξι βοῶσοι, τούτων ἐξελοῦ με παρθένε μεταγνόντα.

Ὠδὴ, θ΄. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Σωθείην ὁ τῇ σκέπῃ σου προσφυγὼν, τοῦ πικροῦ ναυαγίου τῶν θλίψεων, καὶ συμφορῶν, Πρόδρομε, Κυρίου καὶ Βαπτιστὰ, καὶ τῆς γαλήνης τύχοιμι, διὰ πρεσβειῶν σου τῆς ποθεινῆς, οὐδένα γὰρ γινώσκω, ἐν ταῖς περιπετείαις, ἄλλον ἐκτός σου ἀντιλήπτορα.

Παρείτω ἡ ἀντίληψις ἡ ἐκ σοῦ, ταχεινὴ, καὶ τὸ ἔλεος ἄφθονον, ὦ Βαπτιστὰ, ὅτι ἐβραγχίασε ψαλμικῶς, κράζων πρὸς σὲ ὁ λάρυγξ μου. σὲ ἐπικαλοῦμαι οὖν πεποιθὼς, ὁ τάλας διὰ πλῆθος πταισμάτων μου προφῆτα, ἐξαπολέσθαι μὴ παρόψει με.

Ὀδύνας τὰς ἐκθλίψεων Βαπτιστὰ, καὶ πληγὰς τὰς ἐκ νόσου, καὶ ἕλκη δὲ, τὰ τῆς ψυχῆς, πάντα ἐκ τοῦ δούλου σου χαλεπὸν, συμπαθεστάτῳ ἄνελε, οἴκτῳ ἱκετεύω ὁ ταπεινὸς, ἀπόρου ἀπὸ γλώττης, στενάζων ἐκ καρδίας, καὶ χαρμονῆς με δεῖξον ἔμπλεων.

Θεοτοκίον.

Νικήσαιτο πταισμάτων μου τὴν πληθὺν, ἀσπλαγχνίας τὸ ἄμετρον πέλαγος, σοῦ ἀγαθὴ, δέξαι δέ μου δέησιν πεμιχθεῖσαν, καὶ τὰς αἰτήσεις πλήρωσον, δύνασαι γὰρ πάντα ὡς παντοδύναμος, δεσπότου Θεοῦ μήτηρ, εἰ νεύσεις μικρὸν μόνον, πρὸς τὴν ἐμὴν οἰκτρὰν ταπείνωσιν.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς.

Τὸν τῆς μετανοίας καθηγητὴν, καὶ τῶν μοναζόντων ἀντιλήπτορα, καὶ φρουρὸν, τὸν ἀπὸ κοιλίας μητρὸς ἡγιασμένον, τὸν πρόδρομον Κυρίου ὕμνοις τιμήσωμεν.

Μείζονα κρείττονα τῶν προφητῶν, σὲ τὸν τῆς ἐρήμου, μέγαν ὄντως καθηγητὴν, κήρυκα τὸν θεῖον,



θεῖον, καὶ Βαπτιστὴν Κυρίου, τὸν πρόδρομον τὸν μέγαν, ὕμνοις τιμήσωμεν.

Τὸν τοῦ Ζαχαρίου θεῖον βλαστὸν, καὶ τῆς Ἐλισάβετ τὴν παγκόσμιον χαρμονὴν, τὴν φωνὴν τοῦ λόγου, τὸν λύχνον τοῦ ἡλίου, τὸν Πρόδρομον Κυρίου, ὕμνοις τιμήσωμεν.

Πρόδρομε Κυρίου καὶ Βαπτιστὰ, λύχνε τοῦ ἡλίου, ἑωσφόρε φωταγωγὲ, τὴν ἐσκοτισμένην τοῖς πάθεσι τοῦ βίου, ψυχήν μου τὴν ἀθλίαν, σὺ φωταγώγησον.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαὶ, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκὰς, οἱ ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

www.tezaurliturgic.ro

Εἶτα τὸ Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν.
Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία. Τὰ συνήθη Τροπάρια.
καὶ τὸ παρὸν Τροπάριον, ἦχος, β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Φίλε παθημάτων κοινωνὲ, Πρόδρομε Προφῆτα, καὶ μύστα, καὶ Βαπτιστὰ τοῦ Χριστοῦ, πάντων ἡμῶν μνήσθητι, τῶν σὲ τιμώντων πιστῶς, Ἰωάννη πανεύφημε, καὶ ῥῦσαι κινδύνων, πάσης περιστάσεως, ἐκ τῶν βελῶν τοῦ ἐχθροῦ, σώους καὶ ἀτρώτους φυλάττων, πάντας ταῖς πρεσβείαις σου ὅπως, σὲ χρεωστικῶς ἀεὶ δοξάζομεν.

Καὶ Ἀπόλυσις.

Τέλος τῆς τοῦ Προδρόμου παρακλήσεως. Τῷ δὲ Θεῷ δόξα καὶ κλέος.

Βαπτιστὰ κλῦθι, τῶν λιτῶν σου οἰκέτου,
Αἰτήσεως πέρας δὲ, πλῆρες οἷ δίδου.